UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ab anno CCCXIV. ad annum CCCXLVI.

**Parisiis, 1644**

De omnium consensu circa consubstantiale. Capvt XXIV.

**urn:nbn:de:hbz:466:1-15072**

Visual Library

nobis cadens in terram, & carne moriens, per suæ diuinitatis potentiam corporale suum templum suscitauit secundum scripturas, fructum afferens totius humani generis resurrectionem, & post triduanam sepulturam, & reditum ex mortuis ad vitam, apparens discipulis, ostendit eis quas in cruce pertulerat sui corporis passiones, dicens: *Palpate me, ac videte quod ego sum*, qui facio admirabilia, qui & pro vestro genere in carne mea passiones suscepi. (Luc. 24.) Deinde per dies quadraginta versans cum eis, tradésque illis salutaria præceptorum pignora, ipsis videntibus ad cælos rediit, sedereque illum ad Patris dextram sacri libri demonstrant. (Act. 1.) Quem & in fine sæculi ad iudicandum viuos & mortuos venturum expectamus: qui in æternum, vt semper vna cum Patre regnat per infinita sæcula. Hæc est ecclesiæ fides apostolica & inculpata, quam desuper ab ipso Domino per apostolos, & a patribus ad filios traditam ecclesia colit, & vsque nunc & in sempiternum retinet, dicente suis discipulis Domino: (Matth. 28.) *Euntes docete omnes gentes, baptizantes eos in nomine Patris & Filii & Spiritus sancti.*

ἡμῶν πεσὼν εἰς τὴν γῆν, καὶ ἀποθανὼν σαρκὶ, ὃς τῇ τῆς θεότητος αὐτοῦ δυνάμει ἀνέστησε τὸν σωματικὸν αὐτοῦ ναὸν, κατὰ τὰς γραφὰς, καρποφορήσαντα τὴν τοῦ παντὸς ἀνθρωπείου γένους ἀνάστασιν, καὶ ἐμφανίσας τοῖς μαθηταῖς μετὰ τὴν τριήμερον ταφὴν, καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ἐπέδειξεν αὐτοῖς τὰ ἐν τῷ σταυρῷ τοῦ σώματος αὐτοῦ πάθη, εἰπών· ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ θαυματουργῶν, ὁ καὶ τὰ ὑπὲρ τοῦ ὑμετέρου γένους ἐν τῇ σαρκί μου καταδεξάμενος πάθη. εἶτα ἐπὶ τεσσαράκοντα ἡμέρας συναυλιζόμενος αὐτοῖς, δούς τε αὐτοῖς σωτηρίων ἐντολῶν ὑποθήκας, ἀνελήλυθεν εἰς τοὺς οὐρανοὺς, βλεπόντων αὐτῶν, ἐν δεξιᾷ τε τοῦ πατρὸς κεκαθηκέναι αὐτὸν οἱ ἱεροὶ ἐδίδαξαν λόγοι. ὃν καὶ ἥξειν προσδοκῶμεν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς, ἀϊδίως, ὡς ἀεὶ συμβασιλεύοντα τῷ πατρὶ εἰς τοὺς ἀπείρους αἰῶνας. αὕτη ἡ τῆς ἐκκλησίας ἀποστολικὴ καὶ ἀμώμητος πίστις, ἥν τινα ἄνωθεν παρ᾽ αὐτοῦ τοῦ κυρίου διὰ τῶν ἀποστόλων ἐκ προγόνων εἰς ἐκγόνους παραδοθεῖσαν ἡ ἐκκλησία πρεσβεύει, καὶ νῦν καὶ εἰς ἀεὶ ταύτην κρατεῖ, εἰπόντος τοῦ κυρίου τοῖς μαθηταῖς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

## *De omnium consensu circa consubstantiale.*

## Περὶ τῆς τῶν πατέρων ὁμοφωνίας τῆς εἰς τὸ ὁμοούσιον.

### CAPVT XXIV.

### ΚΕΦΑΛ. κδʹ.

HIS hoc modo a sancto Spiritu per sanctos patres nostros in sacra illa Synodo collectos, explicatis, magnificabat Deũ tota illa multitudo, quæ ad

ΤΟΥΤΩΝ οὕτως ὑπὸ τοῦ ἁγίου πνεύματος διὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν ἐκείνῃ τῇ ἁγίᾳ συνόδῳ συνειλεγμένων, ἐκφωνηθέντων, ἐμεγάλυνε τὸν θεὸν ἅπαν τὸ πλῆθος ἐκεῖνο, τὸ εἰς τὴν

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

ANNO CHRISTI 325.

ἀκρόασιν ἐκείνην συνελθόν. ἐπηκροᾶτο δὲ καὶ αὐτὸς ὁ θεοφιλέστατος βασιλεὺς, συμπαρὼν καὶ αὐτὸς τὰ πλεῖστα τῇ συνόδῳ· καὶ ὑπεραγασθεὶς, ἐδόξαζε τὸν θεὸν, τοιούτων ἐπακούσας θείων δογμάτων, χαίρων δὴ πάνυ ἐπὶ τῇ τῶν ἡμετέρων ἐπισκόπων συμφωνίᾳ, ἠγαλλιᾶτο τῷ πνεύματι· ἐσπούδαζε γὰρ μηδένα, μὴ μέγαν, μὴ μικρὸν διαφωνῆσαι ταύτης τῆς σωτηρίου ὁμολογίας. μετὰ γοῦν τὴν πολλὴν ταύτην καὶ χρονίαν τῆς προσκυνητῆς σκέψεως ἐκπλήρωσιν, ἔδοξε πᾶσιν ὁμοῦ τοῖς ἡμετέροις, τὸ ὁμοούσιον δεῖν ὁρίσασθαι ἐπὶ τῆς ἐκκλησιαστικῆς πίστεως, ὃν τρόπον καὶ οἱ μετὰ τοὺς ἀποστόλους ἅγιοι ἡμῶν πατέρες ταύτην παρέδοσαν τὴν πίστιν, τουτέστι τῆς αὐτῆς οὐσίας τῆς τοῦ πατρὸς ὁμολογεῖν τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἣν πίστιν πάντες οἱ ἐν τῇ Νικαιέων συναθροισθέντες ἅγιοι ἐπίσκοποι ἐβεβαίωσαν, τό τε τῶν ἱερατικῶν καὶ ὁμολογητῶν ἀνδρῶν πλῆθος, αὐτός τε ὁ πανεύφημος καὶ θεοφιλέστατος βασιλεὺς, καὶ ἅπαν τὸ ἐκεῖσε τῶν πιστῶν συνεληλυθὸς πλῆθος, χαίροντες ἀπεδέξαντο τὴν ὁμολογίαν τῆς πίστεως, παρεκτὸς ἑπτακαίδεκα ἐπισκόπων τὸν ἀριθμὸν, περὶ ὧν καὶ ἀνωτέρω εἰρήκαμεν· οἷς ὁ Ἄρειος ἐπιτέρπεσθαι δοκῶν, σὺν αὐτοῖς ἑάλω, συμφώνοις αὐτῷ οὖσι, λεγόντων αὐτῶν σὺν αὐτῷ, ἔξωθεν τὸν υἱὸν δεδημιουργῆσθαι τῷ θεῷ ἐκ μὴ ὄντων τινῶν ὑποστάσεων, καὶ οὐκ ἀπ' αὐτῆς τῆς τοῦ πατρὸς θεότητος γεννηθέντα.

auditionem illam conuenerat. Auscultabat autem & ipse Deo amabilissimus rex, qui vt plurimum aderat Synodo, & admirabundus laudabat Deum, cum diuina hæc audisset dogmata; & gaudens de nostrorum episcoporum concordia, exultabat spiritu: studebat enim neminem neque magnum, neque paruum ab hac confessione dissentire. Post longam igitur atque diuturnam huius adorandæ considerationis plenitudinem, visum est simul omnibus nostris, consubstantiale in ecclesiastica fide definiri oportere, ad eumdē modum quo & post apostolos sancti patres nostri fidem hanc tradiderant, hoc est, confiteri Filium & Spiritum sanctum eiusdem substantiæ cum Patre. Quam fidem omnes Nicææ congregati sancti episcopi confirmarunt, & tota sacrorum & confitentium virorum multitudo, & ipse laudatissimus & Deo dilectissimus rex, & tota fidelium quæ illic conuenerat multitudo, gaudentes hanc fidei confessionem susceperunt, præter septemdecim episcoporum numerum, de quibus supra etiam diximus: quibus cum delectari Arius videretur, conuictus est cum ipsis ei consentientibus, qui cum eo asserebant, exterius factum esse a Deo Filium ex quibusdam substantiis non extantibus, & non ex ipsa Patris diuinitate genitum fuisse.